eul_wid: gbs-aa

*Πυργίων ὁ ἱστορικός* · Pyrgion the Historian

# On Cretan Customs

*Ἀπόσπασμα*

**Period:** *Κλασική* Classical
**Dialect:** *Κοινή* Koine (frg)
**Domain:** *Ἱστορία* History
**Format:** *Πεζός* Prose

**ΚΡΗΤΙΚΑ ΝΟΜΙΜΑ. E LIBRO TERTIO.**

1 Athenaeus IV: Πυργίων δ’ ἐν τρίτῳ Κρητικῶν Νομίμων «Ἐν τοῖς συσσιτίοις (φησὶν) οἱ Κρῆτες καθήμενοι εὐσιτοῦσι·» καὶ ὅτι ἀβαμβάκευτα τοῖς ὀρφανοῖς παρατίθεται· καὶ ὅτι οἱ νεώτατοι αὐτῶν ἐφε στᾶσι διακονοῦντες· καὶ ὅτι μετ’ εὐφημίας σπείσαντες τοῖς θεοῖς μερίζουσι τῶν παρατιθεμένων ἅπασιν· ἀπονέμουσι δὲ καὶ τοῖς υἱοῖς, κατὰ τὸν θᾶκον τοῦ πατρὸς ὑφιζάνουσιν, ἐξ ἡμισείας τῶν τοῖς ἀνδράσι παρατιθεμένων. Τοὺς δ’ ὀρφανοὺς ἰσομερεῖς εἶναι· παρατίθεται δ’ αὐτοῖς ἀβαμβάκευτα τῇ κράσει καθ’ ἕκαστα τῶν νενομισμένων. Ἦσαν δὲ καὶ ξενικοὶ θᾶκοι καὶ τράπεζα τρίτη δεξιᾶς εἰσιόντων εἰς τὰ ἀνδρεῖα· ἣν ξενίου τε Διὸς ξενίαν τε προσηγόρευον.